τὴν Γῆν ταύτην ὀλεθρίῳ λοιμῷ προσπαλαίουσιν ἀνεγερθὲν ἐν εὐπνουστέρῳ χωρίῳ, καὶ οἰκήμασιν εὐφυῶς μάλα καὶ δεξιῶς πρὸς κάθαρσιν ἔχουσι, ΝΟΣΟΚΟΜΕΙ῀ΟΝ. καὶ ταῦτα ἐν τοσαύταις τῶν ἡμερῶν ἐπισυμβάσαις δυσχερείαις· ἃς πάσας, καὶ τὸ περιϊστάμενον τῶν πραγμάτων μέγεθος, καὶ τὰ πολλαχόθεν ἀναφυόμενα σκῶλα εὐπετῶς ὑπερβαίνων, τῆς τῶν ἀρχομένων μόνης εὐδαιμονίας ἐκ παντὸς τρόπου ὁρᾶται κηδόμενος, τό, τε περὶ τὰς δαπάνας ἐλευθέριον καὶ τὴν περὶ τὰ ἐρικυδέα δῶρα μεγαλοπρέπειαν ἐπιδεικνύμενος. Ἀλλὰ γὰρ ἔλαθον ἐμαυτὸν σμικροῖς χοεῦσιν ὅλας πλεονεκτημάτων θαλάσσας ἐξαντλῆσαι πειρώμενος. Τὴν δὲ προσφώνησιν ταύτην ὁ

λό-